Ελιφας τῶν Ησαυ υἱῶν Θαιμανων βασιλεύς,
Βαλδαδ ὁ Σαυχαίων τύραννος,
Σωφαρ ὁ Μιναίων βασιλεύς.

17e$^{2}$ ελιφας (cf. 7)] + υιος σωφαν A†, + υιος σωφαρ V† | 17e$^{3}$ βαλδαδ (cf. 2 11$^{4}$)] + υιος αμ(μ)νων του χοβαρ AV† | ο σαυχ. τυρ.] του αυχ(ε)ιτου(cf. 18 1) (+ του V†) τυραννου AV† | 17e$^{4}$ fin.] + θαιμαν υιος ελιφαζ(uel -ας) ηγεμων της ιδουμαιας· ουτος ερμηνευεται εκ της συριακης βιβλου εν μεν γη κατοικων τη αυσιτιδι επι των οριων του ευφρατου· προυπηρχεν δε το ονομα αυτου ιωβαβ, ην δε ο πατηρ αυτου ζαρεθ εξ ανατολων ηλιου AV†: cf. 17b.c

Subscr. ιωβ BSA

# ΣΟΦΙΑ ΣΑΛΩΜΩΝΟΣ

1 1 Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν,
φρονήσατε περὶ τοῦ κυρίου ἐν ἀγαθότητι
καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν.
2 ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν,
ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ.
3 σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ θεοῦ,
δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας.
4 ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία
οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας.
5 ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον
καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων
καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας.
6 φιλάνθρωπον γὰρ πνεῦμα σοφία
καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ·
ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ θεὸς
καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς
καὶ τῆς γλώσσης ἀκουστής.
7 ὅτι πνεῦμα κυρίου πεπλήρωκεν τὴν οἰκουμένην,
καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς.
8 διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ,
οὐδὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη.
9 ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται,

Sap.: BSA. — Fr. = Libri apocryphi V. T. graece ed. Fritzsche (Lips. 1871).

Inscr. σαλωμωνος B*†] -μων Bc†, σαλομωντος S†, σολομωντος A: cf. subscr. et Regn. III 1 10

1 3$^{2}$ τε] δε S || 5$^{1}$ παιδ.] σοφιας A || 6$^{1}$ σοφιας A | 6$^{5}$ γλωσσης] + αυτου A || 7$^{1}$ επληρωσεν A || 8$^{2}$ μη] μην B†